ΥΠΟΥΡΓΕΙΟ ΠΑΙΔΕΙΑΣ, ΘΡΗΣΚΕΥΜΑΤΩΝ
ΚΑΙ ΑΘΛΗΤΙΣΜΟΥ
ΙΝΣΤΙΤΟΥΤΟ ΕΚΠΑΙΔΕΥΤΙΚΗΣ ΠΟΛΙΤΙΚΗΣ

Β΄ ΜΕΡΟΣ

ΘΟΥΚΥΔΙΔΗ
ΠΕΡΙΚΛΕΟΥΣ ΕΠΙΤΑΦΙΟΣ

[Θουκυδίδη Ιστορία**, Β΄ 35-46]**

[Μετάφραση Ν. Σκουτερόπουλου]

Ι.Τ.Υ.Ε. ΔΙΟΦΑΝΤΟΣ

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 1 9/5/2025 1:20:07 μμ

ΚΕΙΜΕΝΟ

[Θουκυδίδη Ιστορία, **Β΄ 35-46]**

35. «Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δὲ ἀρκοῦν ἂν ἐδόκει εἶναι ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ᾽ ἄν τι ἐνδεέστερως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι, ὅ τε ἄπειρος ἔστιν ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν αὐτοῦ φύσιν ἀκούοι. μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσεν· τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον».

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 2 9/5/2025 1:20:08 μμ

ΜΕΤΑΦΡΑΣΗ
[Ν. Σκουτερόπουλου]

35. Οἱ περισσότεροι ἀπὸ ὅσους ἔχουν μιλήσει ἐδῶ ὡς τώρα ἐπαινοῦν αὐτὸν ποὺ πρόσθεσε στὴν καθιερωμένη τελετὴ τὸ λόγο αὐτόν, διότι πιστεύουν πὼς εἶναι ὡραῖο νὰ ἐκφωνεῖται τέτοιος τιμητικὸς λόγος κατὰ τὴν ταφὴ τῶν νεκρῶν τοῦ πολέμου. Ἐγὼ θὰ εἶχα τὴ γνώμη ὅτι γιὰ ἀνθρώπους ποὺ στάθηκαν μὲ ἔργα γενναῖοι θὰ ἀρκοῦσε νὰ ἐκφραστοῦν καὶ οἱ τιμὲς μὲ ἔργα, ὅπως αὐτὰ ποὺ βλέπετε ὅτι καὶ τώρα ἑτοιμάστηκαν μὲ δημόσια φροντίδα γι' αὐτὴ τὴν ἐπικήδεια τελετή, καὶ νὰ μὴν ἐξαρτᾶται ἀπὸ ἕναν ἄνθρωπο μόνο, ποὺ μίλησε καλὰ ἢ ἄσχημα, ἐὰν θὰ γίνει πιστευτὴ ἡ ἀρετὴ πολλῶν. Γιατὶ εἶναι δύσκολο νὰ μιλήσει κανεὶς ὅπως ἁρμόζει γιὰ πράγματα ποὺ μετὰ βίας φθάνει κανεὶς στὴ βεβαιότητα ὅτι εἶναι ἀληθινά. Διότι ὁ ἀκροατὴς ποὺ γνωρίζει τὰ πραγματικὰ δεδομένα καὶ εἶναι εὐνοϊκὰ διατεθειμένος μπορεῖ ἴσως νὰ νομίσει ὅτι παρουσιάζονται κατώτερα κάπως ἀπ' ὅ,τι θέλει καὶ ἀπὸ ὅ,τι ξέρει ὁ ἴδιος, κι ἐκεῖνος πάλι ποὺ δὲν τὰ γνωρίζει μπορεῖ ἀπὸ φθόνο νὰ νομίσει ὅτι ὁρισμένα παρουσιάζονται μὲ ὑπερβολές, ἐὰν ἀκούσει κάτι ποὺ ὑπερβαίνει τὶς δικές του δυνάμεις. Διότι οἱ ἔπαινοι ποὺ λέγονται γιὰ ἄλλους εἶναι ἀνεκτοὶ μέχρι ἐκεῖ ποὺ νομίζει καθένας πὼς εἶναι καὶ ὁ ἴδιος ἱκανὸς νὰ πράξει κάτι ἀπὸ ὅσα ἄκουσε· ὁτιδήποτε πάει πιὸ πέρα ἀπό αὐτὸ τοὺς κάνει ἀμέσως νὰ ζηλεύουν καὶ δυσπιστοῦν. Ἀφοῦ ὅμως οἱ παλαιοὶ ἔκριναν πὼς ἔτσι εἶναι τὸ σωστό, ὀφείλω καὶ ἐγὼ ἀκολουθώντας τὸ ἔθιμο νὰ δοκιμάσω νὰ ἀνταποκριθῶ στὴν ἐπιθυμία καὶ τὴν προσδοκία καθενὸς ἀπὸ σᾶς ὅσο περισσότερο γίνεται.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 3 9/5/2025 1:20:08 μμ

36. «Ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. τὴν γὰρ χώραν οἱ αὐτοὶ αἰεὶ οἰκοῦντες διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν·[1] κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν οὐκ ἀπόνως[2] ἡμῖν τοῖς νῦν προσκατέλιπον. τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ[3] ἐπηυξήσαμεν καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πολέμιον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ καὶ μεθ' οἵας πολιτείας καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἁπρεπῆ λεχθῆναι αὐτὰ καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν».

---

[1] Ἡ γενιὰ τῶν Μαραθωνομάχων καὶ τῶν Σαλαμινομάχων στὰ χρόνια ἀπὸ τὸ 490 μέχρι τὸ 465 περίπου, αὐτῶν ποὺ θεμελίωσαν τὴν Ἀθηναϊκὴ αὐτοκρατορία.

[2] Πρβ. 1, 70, 8.

[3] «Ἡ σταθερά, ἡ στάσιμος ἡλικία καθ' ἣν ἐπέρχεται στάσις τῆς ἀναπτύξεως τῶν σωματικῶν δυνάμεων» Γρ. Β. Ἡ γενιὰ τοῦ ἴδιου τοῦ Περικλῆ ποὺ θὰ ἦταν τότε περίπου 60 ἐτῶν.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 4 9/5/2025 1:20:08 μμ

36. Θὰ ἀρχίσω ἀπὸ τοὺς προγόνους πρῶτα. Καθῆκον μας εἶναι καὶ συγχρόνως πρέπον σὲ τούτη τὴν περίσταση νὰ ἀποδίδεται αὐτὴ ἡ τιμὴ στὴ μνήμη τους. Γιατὶ ζώντας ἀδιαλείπτως σὲ αὐτὴ τὴ χώρα μᾶς τὴν παρέδωσαν, διαδοχικὰ ἡ μιὰ γενιὰ μετὰ τὴν ἄλλη χάρη στὴν ἀνδρεία τους, ἐλεύθερη ὡς τώρα. Καὶ ἀξίζουν νὰ τοὺς δοξάζουμε, καὶ ἐκεῖνοι κι ἀκόμη περισσότερο οἱ πατέρες μας. Διότι, πέρα ἀπὸ ὅσα κληρονόμησαν, ἀπέκτησαν ἀκόμη, ὄχι χωρὶς κόπο, καὶ ἄφησαν σ' ἐμᾶς τοὺς τωρινοὺς ὅση ἡγεμονία ἔχουμε. Κι ὅ,τι παραπέρα ἀποκτήθηκε, ἐμεῖς ποὺ εἴμαστε τώρα περίπου στὴν ὥριμη ἡλικία ἀκόμα τὸ μεγαλώσαμε κι ἄλλο καὶ φροντίσαμε νὰ εἶναι ἡ πόλη μας πανέτοιμη καὶ γιὰ τὸν πόλεμο καὶ γιὰ τὴν εἰρήνη. Ὡστόσο ἐγὼ τὰ πολεμικὰ κατορθώματα μὲ τὰ ὁποῖα ἀποκτήθηκε τοῦτο κι ἐκεῖνο, ἢ ἐὰν κάποτε οἱ ἴδιοι ἐμεῖς ἢ οἱ πατέρες μας ἀντιμετωπίσαμε ψυχωμένα ἕνα βάρβαρο ἢ Ἕλληνα ἐπιδρομέα, αὐτά, ἐπειδὴ δὲν θέλω νὰ μακρηγορῶ σὲ ἀνθρώπους ποὺ τὰ γνωρίζουν, θὰ τὰ ἀφήσω. Ὅμως μὲ ποιές ἀρχὲς ὡς βάση τὰ κατακτήσαμε καὶ μὲ ποιούς πολιτικοὺς θεσμοὺς καὶ δημόσιο βίο, μὲ ποιά ἰδιοσυγκρασία φθάσαμε σὲ αὐτὴ τὴν ἀκμή, αὐτὰ θὰ ἐκθέσω πρῶτα, καὶ ὕστερα θὰ προχωρήσω καὶ στὸν ἔπαινο τούτων τῶν νεκρῶν, διότι πιστεύω ὅτι τούτη τὴν ὥρα δὲν εἶναι ἀταίριαστο νὰ λεχθοῦν αὐτὰ καὶ ὅτι ὅλοι οἱ συγκεντρωμένοι ἐδῶ, ντόπιοι καὶ ξένοι, ὄφελος θὰ ἔχουν νὰ τὰ ἀκούσουν μὲ προσοχή.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 5 9/5/2025 1:20:08 μμ

37. «Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τισὶν ἢ μιμούμενοι ἑτέρους.[4] καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν δημοκρατία κέκληται· μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους[5] τὸ πλέον ἐς τὰ κοινὰ ἢ ἀπ' ἀρετῆς προτιμᾶται, οὐδ' αὖ κατὰ πενίαν, ἔχων γέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν,[6] οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μέν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι. ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε αἰεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελίᾳ τῶν ἀδικουμένων κεῖνται καὶ ὅσοι ἄγραφοι[7] ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσιν».

---

[4] «τῶν Λακεδαιμονίων καθάπτεται, οἷς ὁ Λυκοῦργος νόμους εἰσάγων, ἐμιμήσατο μάλιστα τοὺς τῶν Κρητῶν [αἰχμὴ ἐναντίον τῶν Λακεδαιμονίων, στοὺς ὁποίους ὁ Λυκοῦργος εἰσήγαγε νόμους ποὺ ἦταν ἀπομίμηση νόμων τῶν Κρητῶν]» Ν. Δούκας.

[5] «ὅπως στὴ Σπάρτη οἱ καλούμενοι ὅμοιοι, καταγόμενοι ἀπὸ τῶν Ἡρακλειδῶν καὶ τῶν Δωριέων» Γρ. Β.

[6] «Ὑπαινίττεται πάλιν τοὺς Λακεδαιμονίους οἵτινες, ἂν τις πράττων κατὰ βούλησιν ἀφίστατο ὀλίγον τῶν κοινῶν ἐθίμων, ὑπόπτως ἐζήτουν λόγον παρ' αὐτοῦ, διατί οὕτως ἔπραττε, τί ἐσκόπει, καὶ πῶς ἔπρεπε νὰ πράξει» Γρ. Β.

[7] «οἱ ἠθικοὶ νόμοι, οἱ ἐν τῇ συνειδήσει τῶν ἀνθρώπων ὑπάρχοντες» Γρ. Β.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 6 9/5/2025 1:20:08 μμ

37. Ἔχουμε πολίτευμα ποὺ δὲν χρειάζεται νὰ ἀντιγράφει τοὺς θεσμοὺς τῶν ἄλλων· μάλλον οἱ ἴδιοι ἀποτελοῦμε ὑπόδειγμα γιὰ ἄλλους παρὰ μιμούμαστε ἄλλους. Καὶ ὀνομάζεται τὸ πολίτευμα αὐτό, ἐπειδὴ δὲν ἀποβλέπει στὸ συμφέρον τῶν λίγων ἀλλὰ τῶν πολλῶν, δημοκρατία. Σχετικὰ μὲ τὶς ἰδιωτικὲς διαφορές, οἱ νόμοι τὶς ἀντιμετωπίζουν ὅλες μὲ βάση τὴν ἰσότητα, σχετικὰ πάλι μὲ τὴν προσωπικὴ ἀνάδειξη στὰ δημόσια ἀξιώματα, καθένας προτιμᾶται ἀνάλογα μὲ τὴν ἐκτίμηση ποὺ ἔχει μὲ βάση ὄχι τὴν κοινωνικὴ τάξη ἀλλὰ τὴν ἀξία του· οὔτε πάλι ἡ φτώχεια μὲ τὴν ἀσημότητα ποὺ τὴ συνοδεύει ἔχει ἀποτελέσει ἐμπόδιο γιὰ κάποιον ὁ ὁποῖος μπορεῖ νὰ πράξει κάτι καλὸ γιὰ τὴν πόλη. Ὡς ἐλεύθεροι ἄνθρωποι συμπεριφερόμαστε στὴ δημόσια ζωὴ καὶ στὶς μεταξὺ μας καθημερινὲς σχέσεις χωρὶς καχυποψία, χωρὶς νὰ ὀργιζόμαστε μὲ τὸ γείτονα, ἐὰν κάνει κάτι ἐπειδὴ ἔτσι τοῦ ἀρέσει, οὔτε τοῦ κατεβάζουμε τὰ μοῦτρα, πράγμα πού, ἂν δὲν τὸν βλάπτει, πάντως τὸν στενοχωρεῖ. Καὶ ἐνῶ στὴν ἰδιωτική μας ζωὴ συμπεριφερόμαστε χωρὶς νὰ ἐνοχλοῦμε ὁ ἕνας τὸν ἄλλο, στὴ δημόσια δὲν παραβαίνουμε τὸ νόμο, ἀπὸ σεβασμὸ προπάντων, πειθαρχώντας καὶ στοὺς ἄρχοντες ποὺ ἔχουμε κάθε φορὰ καὶ στοὺς νόμους, καὶ μάλιστα σὲ αὐτοὺς ποὺ ἔχουν θεσπιστεῖ γιὰ τὴν προστασία τῶν ἀδικουμένων, ὅπως ἐπίσης σὲ ἐκείνους πού, ἂν καὶ ἄγραφοι, φέρνουν κατὰ κοινὴ ὁμολογία ντροπὴ σὲ ὅποιον τοὺς παραβαίνει.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 7 9/5/2025 1:20:08 μμ

38. «Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. ἐπεσέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων».

39. «Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις[8] ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος, ὃ μὴ κρυφθὲν[9] ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ· καὶ ἐν ταῖς παιδείαις οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται, ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν.

---

[8] ὡς οἱ Λακεδαιμόνιοι, Σχολ. Πρβ. 1, 144, 2.

[9] Ὑπαινιγμὸς γιὰ τὴ μυστικοπάθεια τῆς Σπάρτης. Πρβ. 4, 80, 4· 5, 68, 2.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 8 9/5/2025 1:20:08 μμ

38. Ὡστόσο φροντίσαμε νὰ βροῦμε καὶ πάρα πολλοὺς τρόπους νὰ ξεκουράζουμε τὸ πνεῦμα μας ἀπὸ τὸ μόχθο, καθιερώνοντας ἀγῶνες καὶ θυσίες σὲ ὅλη τὴ διάρκεια τοῦ χρόνου καὶ ζώντας σὲ περιποιημένα σπίτια ποὺ προσφέρουν καθημερινὰ μιὰ εὐχαρίστηση τέτοια, ποὺ διώχνει τὴ σκυθρωπότητα. Κι ἀκόμη, χάρη στὴ μεγαλοσύνη τῆς πόλης, εἰσάγονται τὰ πάντα ἀπὸ παντοῦ, καὶ συμβαίνει τὰ ἀγαθὰ ποὺ βγάζει ὁ τόπος μας νὰ τὰ χαιρόμαστε σὰν κάτι διόλου πιὸ δικό μας ἀπ' ὅ,τι ἐκεῖνα τῶν ἄλλων ἀνθρώπων.

39. Διαφέρουμε ὅμως ἀπὸ τοὺς ἀντιπάλους μας καὶ στὸν τρόπο ποὺ ἀντιμετωπίζουμε τὰ πολεμικὰ πράγματα. Τὴν πόλη μας τὴν κρατᾶμε ἀνοιχτὴ σὲ ὅλους καὶ ποτὲ δὲν ἐμποδίζουμε κανένα ξένο, διώχνοντάς τον, νὰ μάθει ἢ νὰ δεῖ κάτι πού, ἐὰν δὲν ἔμενε κρυφό, θὰ μποροῦσε ἴσως κάποιος ἐχθρός, ὁ ὁποῖος θὰ τὸ ἔβλεπε, νὰ ὠφεληθεῖ· διότι ἐμεῖς στηρίζουμε τὴν ἐμπιστοσύνη μας ὄχι τόσο στὶς ἑτοιμασίες καὶ τὰ ἀπατηλὰ τεχνάσματα ὅσο στὸ δικό μας θάρρος τὴν ὥρα τῆς δράσης. Κι ἔπειτα, σχετικὰ μὲ τὴν ἀγωγή, ἐκεῖνοι προσπαθοῦν μὲ σκληρὴ ἄσκηση ἀπὸ παιδιὰ κιόλας νὰ γίνουν ἄνδρες, ἐνῶ ἐμεῖς, μόλο ποὺ ὁ τρόπος τῆς ζωῆς μας εἶναι πιὸ χαλαρός, ριχνόμαστε σὲ κινδύνους σύμμετρους μὲ τὶς δυνάμεις μας ὄχι λιγότερο θαρραλέα.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 9 9/5/2025 1:20:08 μμ

τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑαυτούς, μεθ' ἁπάντων δὲ ἐς τὴν γῆν ἡμῶν στρατεύουσι, τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν· ἢν δέ που μορίῳ τινὶ προσμείξωσι, κρατήσαντές τέ τινας ἡμῶν πάντας αὐχοῦσιν ἀπεῶσθαι καὶ νικηθέντες ὑφ' ἁπάντων ἡσσῆσθαι. καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ καὶ μὴ μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας ἐθέλομεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέρους τῶν αἰεὶ μοχθούντων φαίνεσθαι. καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι καὶ ἔτι ἐν ἄλλοις».

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 10 9/5/2025 1:20:08 μμ

Παράδειγμα. Ἐνῶ οἱ Λακεδαιμόνιοι δὲν ἐκστρατεύουν μόνοι τους στὸ ἔδαφός μας ἀλλὰ μὲ ὅλους τοὺς συμμάχους τους, ἐμεῖς εἰσβάλλουμε στὸ ἔδαφος τῶν ἄλλων μόνοι, καὶ παρόλο ὅτι πολεμᾶμε σὲ ξένο τόπο μὲ ἀνθρώπους ποὺ ὑπερασπίζονται τὰ σπίτια τους, τὶς περισσότερες φορὲς νικᾶμε χωρὶς δυσκολία. Συγκεντρωμένη τὴ δύναμή μας δὲν ἀντιμετώπισε ὡς τώρα κανένας ἐχθρός, ἀφοῦ ἐμεῖς ἔχουμε νὰ φροντίσουμε συγχρόνως καὶ γιὰ τὸ ναυτικὸ καὶ γιὰ τὴν ἀποστολὴ σὲ πολλὰ μέρη στὴν ξηρὰ δυνάμεων ἀπὸ ἐμᾶς τοὺς ἴδιους. Κι ἅμα συγκρουστοῦν κάπου μὲ ἕνα μέρος ἀπὸ ἐμᾶς, ἐὰν νικήσουν, καυχιοῦνται πὼς μᾶς ἀπώθησαν ὅλους, ἐὰν πάλι νικηθοῦν, λένε ὅτι νικήθηκαν ἀπὸ ὅλους ἐμᾶς μαζί. Ἔτσι, ἂν ἀναλαμβάνουμε κινδύνους ζώντας μάλλον ἀνέμελα παρὰ κάνοντας ἐπίπονες ἀσκήσεις, καὶ μὲ γενναιότητα ποὺ δὲν μᾶς τὴν ἐπιβάλλουν οἱ νόμοι ἀλλὰ ἀπορρέει περισσότερο ἀπὸ τὸν τρόπο τῆς ζωῆς μας, ἔχουμε τὸ πρόσθετο κέρδος ὅτι δὲν καταπονούμαστε προκαταβολικὰ γιὰ ὅσα ὀδυνηρὰ εἶναι νὰ ἔλθουν, κι ἅμα ἔλθουν, δὲν δείχνουμε νὰ εἴμαστε λιγότερο τολμηροὶ ἀπὸ ἐκείνους ποὺ πασχίζουν ἀδιάκοπα. Καὶ γιὰ αὐτὰ λοιπὸν ἀξίζει νὰ τὴ θαυμάζει κανεὶς τὴν πόλη μας καὶ γιὰ ἄλλα ἀκόμη.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 11 9/5/2025 1:20:08 μμ

40. «Φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα, καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρόν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τετραμμένοις[10] τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι· μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν, καὶ οἱ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει.

---

[10] Ένα ἀπὸ τὰ πιὸ σοβαρὰ ἐπιχειρήματα τοῦ Πλάτωνα κατὰ τῆς δημοκρατίας ἦταν ὅτι ἡ πολιτικὴ τέχνη ἀποτελοῦσε δραστηριότητα ποὺ ἔπρεπε νὰ ἀσκεῖται ἀπὸ ἀνθρώπους μὲ εἰδικὴ ἐκπαίδευση σὲ αὐτὴν καὶ ὅτι ὅσοι ἀσχολοῦνται μὲ ἀλλότρια πράγματα δὲν ἔχουν τὴ δυνατότητα νὰ τὴ μάθουν (HCT τ. 2).

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 12 9/5/2025 1:20:08 μμ

40. Ἀγαπᾶμε τὴν ὀμορφιὰ παραμένοντας ἁπλοί· ἀγαπᾶμε τὴ θεωρητικὴ σκέψη χωρὶς αὐτὸ νὰ μᾶς ἀποχαυνώνει. Τὸν πλοῦτο τὸν χρησιμοποιοῦμε περισσότερο ὡς εὐκαιρία γιὰ δράση παρὰ ὡς ἀφορμὴ γιὰ κομπασμό, καὶ τὸ θεωροῦμε ντροπὴ νὰ μὴν παραδέχεται κανεὶς πὼς εἶναι φτωχός, χειρότερη ὅμως ντροπὴ νὰ μὴν προσπαθεῖ μὲ τὴν ἐργασία νὰ ξεφύγει ἀπὸ τὴ φτώχεια. Εἴμαστε σὲ θέση οἱ ἴδιοι νὰ φροντίζουμε καὶ γιὰ τὰ δικά μας πράγματα καὶ γιὰ τὰ πολιτικά, καὶ παρὰ τὶς διάφορες ἀσχολίες ποὺ καθένας μας ἔχει, δὲν εἴμαστε ἀνεπαρκῶς κατατοπισμένοι στὰ πολιτικά. Διότι εἴμαστε οἱ μόνοι ποὺ ὅποιον δὲν συμμετέχει καθόλου σὲ αὐτὰ δὲν τὸν θεωροῦμε φιλήσυχο πολίτη ἀλλὰ ἄχρηστο, καὶ οἱ ἴδιοι ἐμεῖς πάλι ποὺ παίρνουμε πολιτικὲς ἀποφάσεις ἢ τουλάχιστον σχηματίζουμε σωστὴ γνώμη γιὰ τὰ πράγματα, γιατὶ νομίζουμε ὅτι τὴν πράξη δὲν τὴν βλάπτει ἡ συζήτηση ἀλλὰ τὸ νὰ μὴν κατατοπιστεῖ κανεὶς πρῶτα διαμέσου τῆς συζήτησης σχετικὰ μὲ ὅ,τι πρέπει νὰ πραχθεῖ. Διότι καὶ σὲ τοῦτο ξεχωρίζουμε καθὼς οἱ ἴδιοι ἐμεῖς εἴμαστε ἐξαιρετικὰ τολμηροὶ καὶ συνάμα προσεκτικοὶ σὲ ὅ,τι θὰ ἐπιχειρήσουμε· στοὺς ἄλλους ἡ ἄγνοια γεννάει θράσος καὶ ἡ περίσκεψη δισταγμό.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 13 9/5/2025 1:20:08 μμ

κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ ἐς ἀρετὴν ἐνηντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σῴζειν· ὁ δὲ ἀντοφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων.
καὶ μόνοι οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινὰ ὠφελοῦμεν».[11]

---

[11] **Δεδομένου ὅτι ἡ συμπεριφορὰ τῆς Ἀθήνας τοῦ Περικλῆ δὲν ἔχει νὰ ἐπιδείξει τέτοια παραδείγματα γενναιοδωρίας πρὸς τοὺς συμμάχους, τὸ πιθανότερο, κατὰ τὸν H. Diller, εἶναι ὅτι ἀναφέρεται στὴν πρόθυμη βοήθεια τῆς μυθικῆς Ἀθήνας σὲ κυνηγημένους καὶ καταδιωγμένους, ὅπως αὐτὸ παριστάνεται στὶς Ἱκέτιδες τοῦ Εὐριπίδη. Ὑπενθυμίζοντας ὁ Περικλῆς τὴ μυθικὴ παράδοση τῆς πόλης του νομιμοποιεῖ κάπως τὴν τωρινὴ κυριαρχικὴ θέση της ποὺ ἀνάγεται σὲ μιὰ ἰδεολογία ἀπορρέουσα ἀπὸ αὐτοπεποίθηση καὶ ἐσωτερικὴ ἀνεξαρτησία καὶ πραγματώνεται ὡς συγκεκριμένη ἀνθρώπινη στάση: εἶναι τὸ πιστὸν τῆς ἐλευθερίας (H. Diller στὸ Herter [1968], σ. 655).**

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 14 9/5/2025 1:20:08 μμ

Ὅμως τὴν πιὸ μεγάλη δύναμη ψυχῆς θὰ ἦταν σωστὸ νὰ κριθεῖ ὅτι τὴν ἔχουν ὅσοι γνωρίζουν ὁλοκάθαρα ποιά εἶναι τὰ φοβερὰ καὶ ποιά τὰ εὐχάριστα καὶ ἐντούτοις δὲν ὑποχωροῦν ἐξαιτίας αὐτοῦ μπροστὰ στοὺς κινδύνους. Ἐπίσης, σχετικὰ μὲ τὴν καλοσύνη ἔχουμε ἀντίθετη γνώμη ἀπὸ τοὺς περισσότερους· γιατὶ δὲν ἐπιδιώκουμε νὰ ἀποκτοῦμε φίλους μὲ τὸ νὰ δεχόμαστε εὐεργεσίες ἀλλὰ κάνοντας ἐμεῖς καλό. Καὶ εἶναι σταθερότερος φίλος αὐτὸς ποὺ ἔκανε τὸ καλό, γιατὶ προσπαθεῖ νὰ διατηρήσει τὴ χάρη ποὺ τοῦ ὀφείλεται δείχνοντας συμπάθεια σὲ αὐτὸν στὸν ὁποῖο ἔκανε καλό· ἐνῶ ἐκεῖνος ποὺ ὀφείλει κάτι εἶναι πιὸ ἀδιάφορος, διότι ξέρει ὅτι, γιὰ τὸ καλὸ ποὺ θὰ κάνει, ὁ ἄλλος δὲν θὰ τοῦ χρωστάει χάρη ἀλλὰ ἁπλῶς θὰ ἐξοφλήσει μὲ αὐτὸ ὁ ἴδιος ἕνα χρέος του. Καὶ εἴμαστε οἱ μόνοι ποὺ κάνουμε καλὸ ἀνεπιφύλακτα ὄχι ἀπὸ συμφεροντολογικὸ ὑπολογισμὸ ἀλλὰ ἀπὸ τὴν ἐμπιστοσύνη ποὺ ὡς ἐλεύθεροι ἄνθρωποι ἔχουμε στοὺς ἄλλους.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 15 9/5/2025 1:20:08 μμ

41. «Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν[12] εἶναι καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἴδη καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι,

---

[12] Πρβ. τὰ λόγια τοῦ σοφιστῆ Ἱππία στὸν πλατωνικὸ Πρωταγόρα 337d (συνεληλυθότας τῆς Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας), ἐπίσης τὸ ἐπίγραμμα στὸν Εὐριπίδη (τὸ ὁποῖο ἀπὸ πολλοὺς ἀποδίδεται στὸ Θουκυδίδη) μὲ τὴν περίφημη φράση Ἑλλάδος Ἑλλὰς Ἀθῆναι στὴν Παλατίνη Ἀνθολογία.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 16 9/5/2025 1:20:08 μμ

41. Συγκεφαλαιώνοντας λέω ὅτι στὸ σύνολό της ἡ πόλη μας εἶναι ἕνα σχολεῖο γιὰ τὴν Ἑλλάδα, καὶ καθένας ἀπὸ ἐμᾶς θὰ μποροῦσε, νομίζω, χωρὶς δυσκολία νὰ ἀνταποκριθεῖ μὲ τὴ μεγαλύτερη εὐστροφία καὶ χάρη στὶς πιὸ διαφορετικὲς μορφὲς δράσης. Καὶ ὅτι αὐτὰ δὲν εἶναι περιαυτολογίες καὶ λόγια τῆς στιγμῆς ἀλλὰ ἀλήθεια πραγματικὴ τὸ φανερώνει ἡ ἴδια ἡ δύναμη τῆς πόλης ποὺ ἀποκτήθηκε χάρη σὲ αὐτοὺς ἀκριβῶς τοὺς τρόπους. Διότι εἶναι ἡ μόνη σύγχρονη πόλη ποὺ τὴν ὥρα τῆς δοκιμασίας ἀποδεικνύεται ἀνώτερη ἀπὸ τὴ φήμη της καὶ ἡ μόνη ποὺ οὔτε στὸν ἐχθρὸ ὁ ὁποῖος ἦλθε ἐναντίον της δίνει ἀφορμὴ νὰ ἀγανακτήσει ἀπὸ τί ἀνθρώπους δεινοπαθεῖ οὔτε στὸν ὑπήκοο νὰ παραπονεθεῖ ὅτι τὸν ἐξουσιάζουν ἀνάξιοι. Ἔχοντας δώσει τρανὰ δείγματα καί, ἰδίως, ἀψευδεῖς μαρτυρίες γιὰ τὴ δύναμή μας, θὰ μᾶς θαυμάσουν καὶ οἱ σύγχρονοι καὶ οἱ μεταγενέστεροι, δίχως διόλου νὰ χρειαζόμαστε οὔτε ἕναν Ὅμηρο γιὰ νὰ μᾶς ὑμνήσει οὔτε κανέναν ἄλλο ποὺ τὰ ὡραῖα λόγια του θὰ ἀκουστοῦν γιὰ μιὰ στιγμὴ εὐχάριστα ἀλλὰ ποὺ ἔπειτα τὴν αὐθαίρετη εἰκόνα του γιὰ τὰ πράγματα θὰ τὴν διαψεύσει ἡ ἀλήθεια. Ἐμεῖς κάθε θάλασσα καὶ κάθε στεριὰ τὴν ἀναγκάσαμε νὰ ἀνοίξει δρόμο στὴν τόλμη μας

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 17 9/5/2025 1:20:08 μμ

πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀίδια[13] ξυγκατοικίσαντες. περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν».

---

[13] Ἡ σωστὴ ἑρμηνεία ἔχει προταθεῖ ἀπὸ τὸν Steup ad l., ὁ ὁποῖος παραθέτει σχετικὰ τὰ ἀκόλουθα λόγια τοῦ Wilamowitz: «Ἡ Ἀθηναϊκὴ καταστροφὴ στὴ Μέμφιδα ἀποδεικνύει τὸ μεγαλεῖο τῆς Ἀθήνας ὄχι λιγότερο ἀπ' ὅ,τι ἡ νίκη στὸν Εὐρυμέδοντα». Ὅπως σημειώνει ὁ Gomme ad l., ὕστερα ἀπὸ τὸ πᾶσαν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι ἡ ἀνάμνηση τῆς Αἰγυπτιακῆς ἐκστρατείας μᾶς ἔρχεται στὸ νοῦ σχεδὸν ἀναπόφευκτα. Κοντὰ στὸν Εὐρυμέδοντα ποταμὸ ποὺ ἐκβάλλει στὸν κόλπο τῆς Ἀττάλειας οἱ Ἀθηναῖοι ὑπὸ τὸν Κίμωνα νίκησαν σὲ ξηρὰ καὶ θάλασσα τοὺς Πέρσες. Στὴ Μέμφιδα καταστράφηκε τὸ μεγάλο Ἀθηναϊκὸ ἐκστρατευτικὸ σῶμα ποὺ πρόσφερε βοήθεια κατὰ τὴν ἀποστασία τῆς Αἰγύπτου ἀπὸ τὴν Περσία (Cl.-St./HCT τ. 2).

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 18 9/5/2025 1:20:08 μμ

καὶ στήσαμε παντοῦ μνημεῖα αἰώνια – καὶ μὲ τὶς ἀποτυχίες καὶ μὲ τὶς ἐπιτυχίες μας. Γιὰ μιὰ τέτοια πόλη πολέμησαν γενναῖα καὶ ἔπεσαν αὐτοὶ ἐδῶ διεκδικώντας νὰ μὴν τοὺς τὴν στερήσουν, κι ἀπ' ὅσους μένουμε ζωντανοὶ φυσικὰ εἶναι καθένας ἕτοιμος νὰ ὑποστεῖ ὁτιδήποτε γιὰ χάρη της.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 19 9/5/2025 1:20:08 μμ

42. «Δι’ ὃ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα ἐφ’ οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς. καὶ εἴρηται αὐτῆς τὰ μέγιστα· ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν, καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόρροπος ὥσπερ τῶνδε ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν πρώτη τε μηνύουσα καὶ τελευταία βεβαιοῦσα ἡ νῦν τῶνδε καταστροφή. καὶ γὰρ τοῖς τἆλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι· ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες κοινῶς μᾶλλον ὠφέλησαν ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. τῶνδε δὲ οὔτε πλούτου τις τὴν ἔτι ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο·

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 20 9/5/2025 1:20:08 μμ

42. Γι’ αὐτὸ ἀκριβῶς μίλησα διεξοδικότερα γιὰ τὴν πόλη, γιὰ νὰ σᾶς δώσω νὰ καταλάβετε ὅτι δὲν ἀγωνιζόμαστε γιὰ τὰ ἴδια πράγματα ἐμεῖς καὶ ἐκεῖνοι ποὺ δὲν ἔχουν τίποτα ὅμοιο μὲ αὐτὰ ἐδῶ, καὶ συνάμα γιὰ νὰ στηρίξω σὲ ὁλοφάνερες ἀποδείξεις τὸ ἐγκώμιο ποὺ ἔπλεξα σὲ αὐτοὺς γιὰ τοὺς ὁποίους μιλῶ. Καὶ πραγματικά, τὸ μεγαλύτερο μέρος τοῦ ἐγκωμίου ἔχει εἰπωθεῖ. Διότι ὅσα ὑμνητικὰ εἶπα γιὰ τὴν πόλη εἶναι τὰ κοσμήματα μὲ τὰ ὁποῖα τὴν στόλισαν τὰ ἀνδραγαθήματα τούτων τῶν νεκρῶν καὶ τῶν ὅμοιών τους, καὶ δὲν εἶναι πολλοὶ οἱ Ἕλληνες πού, ὅπως συμβαίνει μὲ αὐτοὺς ἐδῶ, τὰ ὑμνητικὰ λόγια θὰ ἀποδεικνύονταν ἰσόρροπα μὲ τὶς πράξεις τους. Καὶ πιστεύω ὅτι τὸ τέλος τους τώρα ἐπιβεβαιώνει τὴ γενναιότητα τοῦ ἄνδρα, ὡς πρῶτο μήνυμα καὶ ὕστατη ἐπισφράγιση. Διότι, ναί, ἀκόμη καὶ γιὰ ἐκείνους ποὺ ἀπὸ ἄλλη ἄποψη ὑστεροῦν, δίκαιο εἶναι ἡ παλληκαριά τους στὸν πόλεμο γιὰ τὴν πατρίδα νὰ μετράει πρῶτο. Ἔσβησαν ἐντελῶς τὸ κακὸ διαμέσου τοῦ καλοῦ καὶ μὲ αὐτὸ ὠφέλησαν τὴν κοινὴ προσπάθεια περισσότερο ἀπ’ ὅ,τι τὴν ἔβλαψαν μὲ τὰ λάθη στὸν ἰδιωτικὸ βίο τους. Κανένας τους δὲν δείλιασε· οὔτε πλούσιος, προτιμώντας νὰ ἐξακολουθήσει νὰ ἀπολαμβάνει τὰ πλούτη του, οὔτε φτωχός, ἐλπίζοντας ἀκόμη πὼς θὰ μποροῦσε νὰ γλιτώσει ἀπὸ τὴ φτώχεια καὶ νὰ πλουτίσει, δὲν προσπάθησε νὰ ἀναβάλει τὸ κακό.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 21 9/5/2025 1:20:08 μμ

τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες ἐβουλήθησαν μετ' αὐτοῦ τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἀφίεσθαι, ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι, καὶ ἐν αὐτῷ τῷ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι ἢ [τὸ] ἐνδόντες σῴζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν».

43. «Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφελίαν, ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν, ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους καὶ ἐραστὰς γιγνομένους αὐτῆς, καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες καὶ γιγνώσκοντες τὰ δέοντα καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο,

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 22 9/5/2025 1:20:08 μμ

Πιὸ ποθητὴ ἀπὸ αὐτὰ θεώρησαν τὴν τιμωρία τῶν ἐχθρῶν καὶ συνάμα πίστεψαν πὼς ἀπ' ὅλους τοὺς κινδύνους αὐτὸς εἶναι ὁ ὡραιότερος καὶ θέλησαν, ἀναλαμβάνοντάς τον, νὰ τιμωρήσουν τὸν ἐχθρό, καὶ τὰ ἄλλα νὰ τὰ ἀφήσουν. Τὸ ἄδηλο τῆς ἐπιτυχίας στὸν ἀγώνα τὸ ἐναπόθεσαν στὴν ἐλπίδα, στὴ δράση ὅμως, γι' αὐτὸ ποὺ τὸ ἔβλεπαν πιὰ μπροστά τους, ἔκριναν πὼς εἶχαν χρέος νὰ στηριχτοῦν στὸν ἑαυτό τους, καὶ θεώρησαν προτιμότερο νὰ ἀντισταθοῦν καὶ νὰ πάθουν παρὰ νὰ σωθοῦν ὑποχωρώντας· ἀπέφυγαν τὴν ντροπὴ νὰ τοὺς ποῦν δειλούς, κράτησαν γερὰ στὸν ἀγώνα καί, σὲ ἐλάχιστο χρόνο ποὺ τὸν ὅρισε ἡ τύχη, στὸ μεσουράνημα τῆς δόξας καὶ ὄχι τοῦ φόβου, ἔφυγαν ἀπὸ τὴ ζωή.

43. Κι αὐτοὶ μὲν ἀποδείχτηκαν ἄξιοι τῆς πόλης. Ἀλλὰ ἐμεῖς ποὺ μένουμε ἂς ἀξιώνουμε ἀπὸ τὸν ἑαυτό μας φρόνημα καθόλου πιὸ ἄτολμο ἀπέναντι στοὺς ἐχθροὺς καί, ἂς εὐχόμαστε, πιὸ ἀκίνδυνο· καὶ νὰ μὴν κρίνετε μὲ βάση μόνο τὰ λόγια τοῦ ρήτορα τὴν ἀξία αὐτοῦ τοῦ φρονήματος, γιὰ τὴν ὁποία θὰ μποροῦσε κανεὶς νὰ ἔλεγε πολλά, κι ἐσεῖς αὐτὸ τὸ γνωρίζετε καλύτερα, ἐκθέτοντας πόσα πλεονεκτήματα ἔχει τὸ νὰ ἀντιστέκεται κανεὶς στὸν ἐχθρό, ἀλλὰ πιὸ πολὺ νὰ τὸ κρίνετε βλέποντας τὴ δύναμη τῆς πόλης κάθε μέρα στὰ ἔργα της καὶ ἀγαπώντας την μὲ πάθος, κι ὅταν σᾶς φανεῖ μεγάλη, ἀναλογιστεῖτε ὅτι αὐτὰ εἶναι κατακτήσεις ἀνθρώπων ποὺ τολμοῦσαν καὶ ἤξεραν τί ἔπρεπε νὰ πράξουν καὶ στὸν ἀγώνα ἐπάνω εἶχαν φιλότιμο·

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 23 9/5/2025 1:20:08 μμ

καὶ ὁπότε καὶ πείρᾳ του σφαλεῖεν, οὐκ οὖν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ γὰρ τὰ σώματα διδόντες ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι αἰεὶ καὶ λόγου καὶ ἔργου καιρῷ αἰείμνηστος καταλείπεται. ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφή, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. οὓς νῦν ὑμεῖς ζηλώσαντες καὶ τὸ εὔδαιμον τὸ ἐλεύθερον, τὸ δ' ἐλεύθερον τὸ εὔψυχον κρίναντες μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστιν ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ μετὰ τοῦ [ἐν τῷ] μαλακισθῆναι κάκωσις ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος».

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 24 9/5/2025 1:20:08 μμ

κι ἂν καμιὰ φορὰ σὲ κάποιο ἐγχείρημά τους ἀποτύγχαναν, ἔκριναν ὅτι δὲν ἔπρεπε γι' αὐτὸ νὰ στερηθεῖ καὶ ἡ πόλη τὴν ἀνδρεία τους καὶ τῆς τὴν πρόσφεραν ὡς τὴν ὡραιότερη συνεισφορά. Γιατὶ θυσιάζοντας τὴ ζωή τους γιὰ τὸ κοινὸ καλὸ ἔπαιρναν καθένας χωριστὰ ἀθάνατο ἔπαινο καὶ τάφο περίλαμπρο ὄχι τόσο ἐκεῖ ὅπου κείτονται, ἀλλὰ ἐκεῖ ὅπου ζεῖ ἀμάραντη ἡ δόξα τους καὶ μνημονεύεται παντοτινὰ σὲ κάθε εὐκαιρία λόγων καὶ πράξεων πρὸς τιμήν τους. Διότι τῶν ἐπιφανῶν ἀνδρῶν τάφος εἶναι ὅλη ἡ γῆ, καὶ δὲν εἶναι μόνο ἡ ἐπιγραφὴ στὶς ἐπιτύμβιες στῆλες στὴν πατρίδα τους ποὺ δηλώνει τὸ ὄνομά τους, ἀλλὰ καὶ στοὺς ξένους τόπους σώζεται ἄγραφη μέσα στὴν ψυχὴ καθενὸς ἡ ἀνάμνηση ὄχι τόσο τοῦ ἔργου, ὅσο τῆς ἀπόφασής τους. Αὐτοὺς ἀκριβῶς ἔχοντας τώρα γιὰ παράδειγμα καὶ μὲ τὴν πεποίθηση ὅτι εὐτυχία εἶναι ἡ ἐλευθερία, καὶ ἐλευθερία ἡ δυνατὴ ψυχή, μὴ δειλιάζετε μπροστὰ στοὺς κινδύνους τοῦ πολέμου. Γιατὶ δὲν θὰ ἦταν καὶ τόσο δικαιολογημένο νὰ ἀψηφοῦν τὴ ζωή τους ὅσοι δυστυχοῦν, ὅσοι δὲν ἐλπίζουν σὲ κανένα καλὸ ἀλλὰ ἐκεῖνοι ποὺ διατρέχουν τὸν κίνδυνο νὰ μεταπέσουν, ὅσο ζοῦν ἀκόμα, ἀπὸ τὴν εὐτυχία στὴ δυστυχία καὶ πού, ἐὰν σκοντάψουν κάπου, ἡ μεταβολὴ γι' αὐτοὺς θὰ εἶναι ἐξαιρετικὰ μεγάλη. Γιατὶ ἕναν ἄνδρα μὲ γενναῖο φρόνημα τὸν πονάει περισσότερο ἡ ταπείνωση τῆς δειλίας παρὰ ὁ θάνατος ποὺ ἐπέρχεται σὲ στιγμὴ δύναμης καὶ κοινῆς ἐλπίδας χωρὶς νὰ γίνεται αἰσθητός.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 25 9/5/2025 1:20:08 μμ

44. «Δι’ ὅπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθήσομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες· τὸ δ’ εὐτυχές, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν, τελευτῆς, ὑμεῖς δὲ λύπης, καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὅν, ὧν καὶ πολλάκις ἔξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ’ οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι· ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι καὶ ἀσφαλείᾳ, ξυνοίσει· οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. ὅσοι δ’ αὖ παρηβήκατε, τόν τε πλέονα κέρδος ὃν ηὐτυχεῖτε βίον ἡγεῖσθε καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν,[14] ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι».

[14] φιλάργυροι γὰρ οἱ γέροντες, Σχολ.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 26 9/5/2025 1:20:08 μμ

44. Γι’ αὐτὸ καὶ τοὺς γονεῖς τούτων τῶν ἡρώων, ὅσοι εἴσαστε παρόντες, δὲν σᾶς κλαίω, μάλλον νὰ σᾶς παρηγορήσω θέλω. Γνωρίζουν ὅτι ἀνδρώθηκαν δοκιμάζοντας ποικίλες μεταβολὲς τῆς τύχης· καὶ ὅτι εὐτυχία εἶναι νὰ ἔχει κανεὶς ἕνα θάνατο, ὅπως αὐτοὶ ἐδῶ, τιμημένο, κι ἐσεῖς ἕνα ὅμοιο πένθος ὅπου τὸ τέλος τῆς ζωῆς ἔλαχε νὰ συμπέσει μὲ τὸ τέλος τῆς εὐτυχίας. Ξέρω πὼς εἶναι δύσκολο νὰ σᾶς πείσω, καὶ συχνὰ θὰ σᾶς δίνουν ἀφορμὲς νὰ τοὺς θυμάστε οἱ χαρὲς τῶν ἄλλων ποὺ κάποτε τὶς νιώθατε κι ἐσεῖς. Καὶ λυπᾶται κανεὶς ὄχι ὅταν τοῦ λείπουν ἀγαθὰ ποὺ δὲν δοκίμασε ἀλλὰ ὅταν ἔχοντας συνηθίσει κάτι ὕστερα τὸ χάσει. Πρέπει ὅμως νὰ κάνετε κουράγιο, μὲ τὴν ἐλπίδα καὶ γιὰ ἄλλα παιδιά, ὅσοι εἴσαστε ἀκόμα σὲ ἡλικία ποὺ μπορεῖτε νὰ φέρετε στὸν κόσμο παιδιά· γιατὶ καὶ στὴν οἰκογένεια αὐτὰ ποὺ θὰ γεννηθοῦν θὰ κάνουν μερικοὺς νὰ ξεχάσουν ἐκείνους ποὺ δὲν ὑπάρχουν πιά, ἀλλὰ καὶ ἡ πόλη θὰ ὠφεληθεῖ διπλὰ καθὼς ἀποφεύγεται ἔτσι ἡ ἐρήμωση καὶ ἐνισχύεται ἡ ἀσφάλειά της· γιατὶ δὲν εἶναι δυνατὸν νὰ σκέπτονται γιὰ τὰ κοινὰ τὸ ἴδιο ὀρθὰ καὶ δίκαια ὅσοι μὴν ἔχοντας νὰ δώσουν παιδιὰ δὲν εἶναι ἐκτεθειμένοι σὲ ἴδιους, ὅπως καὶ οἱ ἄλλοι, κινδύνους. Κι ὅσοι πάλι εἴσαστε προχωρημένοι στὰ χρόνια, τὸ μεγαλύτερο μέρος τῆς ζωῆς ποὺ τὸ περάσατε εὐτυχισμένα νὰ τὸ θεωρεῖτε κέρδος, κι αὐτὸ ποὺ ἀπομένει θὰ εἶναι σύντομο, καὶ νὰ ἔχετε παρηγοριά σας τὴ δόξα αὐτῶν ἐδῶ. Γιατὶ μόνο ἡ αἴσθηση τῆς τιμῆς δὲν γερνάει ποτέ, καὶ στὰ ἄχρηστα τὰ γερατειὰ μεγαλύτερη χαρὰ δὲν εἶναι, ὅπως λένε μερικοί, νὰ ἔχει κανεὶς κέρδη ἀλλὰ νὰ τὸν τιμοῦν.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 27 9/5/2025 1:20:08 μμ

45. «Παισὶ δ’ αὖ ὅσοι τῶνδε πάρεστε ἢ ἀδελφοῖς ὁρῶ μέγαν τὸν ἀγῶνα (τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν), καὶ μόλις ἂν καθ’ ὑπερβολὴν ἀρετῆς οὐχ ὁμοῖοι, ἀλλ’ ὀλίγῳ χείρους κριθεῖτε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς,[15] ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν μεγάλη ἡ δόξα καὶ ἧς ἂν ἐπ’ ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ».

46. «Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον πρόσφορα, καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται, τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα· ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσιν. νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἑκάστῳ ἄπιτε».

---

[15] Ἀπευθύνεται στὶς γυναῖκες τῶν πεσόντων, τὶς χῆρες, ὄχι καὶ στὶς μητέρες ποὺ ἔχασαν τὰ παιδιά τους.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 28 9/5/2025 1:20:08 μμ

45. Γιὰ ἐσᾶς πάλι, τοὺς γιοὺς τῶν πεσόντων ἢ τὰ ἀδέλφια, βλέπω μεγάλο τὸν ἀγώνα σας –διότι συνήθως αὐτὸν ποὺ χάθηκε καθένας τὸν παινεύει–, καὶ μὲ πολλὴ δυσκολία, ἂν δείξετε ἐντελῶς ξεχωριστὴ ἀνδρεία, ἴσως σᾶς κρίνουν ὄχι βέβαια ὅμοιους ἀλλὰ λίγο κατώτερους ἀπὸ αὐτοὺς ἐδῶ. Γιατί, ὅταν εἶναι κανεὶς ζωντανός, ζηλεύει τὸν ἀνταγωνιστή, ἐνῶ αὐτὸς ποὺ δὲν στέκεται πιὰ ἐμπόδιο τιμᾶται μὲ μιὰ εὔνοια ποὺ δὲν μπορεῖ κανένας νὰ τὴν ἀνταγωνιστεῖ. Κι ἂν χρειάζεται νὰ πῶ κάτι καὶ γιὰ τῶν γυναικῶν τὴν ἀρετή, ὅσες θὰ μείνουν τώρα χῆρες, θὰ τὸ ἐκφράσω μὲ μιὰ σύντομη παραίνεση. Μεγάλη στ' ἀλήθεια ἡ δόξα γιὰ σᾶς νὰ μὴ φανεῖτε κατώτερες ἀπὸ τὴ γυναικεία φύση σας, ἐπίσης γιὰ ὅποια θὰ γίνεται ὅσο τὸ δυνατὸν λιγότερος λόγος μεταξὺ τῶν ἀνδρῶν γιὰ τὶς ἀρετὲς ἢ τὴν ἐπιλήψιμη συμπεριφορά της.

46. Μίλησα λοιπὸν κι ἐγώ, κατὰ τὸ προγονικὸ ἔθιμο, καὶ εἶπα ὅσα εἶχα νὰ πῶ, τιμήθηκαν ἐπίσης τελετουργικὰ αὐτοὶ ποὺ θάβονται τώρα· τὰ παιδιά τους τὰ ἀναλαμβάνει ἀπὸ σήμερα μὲ δημόσια δαπάνη μέχρι τὴν ἐνηλικίωσή τους ἡ πόλη καταθέτοντας ἔτσι ἕνα στεφάνι ὠφέλιμο στοὺς πεσόντες καὶ σὲ αὐτοὺς ποὺ ἀπομένουν, ὡς ἔπαθλο τέτοιων ἀγώνων· γιατί, ὅπου ἔχουν καθιερωθεῖ μέγιστα βραβεῖα γιὰ τὴν ἀρετή, ἐκεῖ ὑπάρχουν καὶ οἱ ἄριστοι πολίτες. Καὶ τώρα, ἀφοῦ καθένας θρήνησε τὸν δικό του, μπορεῖτε νὰ πηγαίνετε.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 29 9/5/2025 1:20:08 μμ

*** Στο μεταφρασμένο απόσπασμα διατηρείται ο τονισμός και η ορθογραφία του κειμένου του Ν. Σκουτερόπουλου.**

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 30 9/5/2025 1:20:08 μμ

ΒΙΒΛΙΟΓΡΑΦΙΚΕΣ ΠΑΡΑΠΟΜΠΕΣ

Γρ. Β. = **Γρηγόριος Βερναρδάκης,** Σχόλια εις τας δημηγορίας του Θουκυδίδου, **Αθήναι, 1885(2) (φωτ. ανατ. στις εκδόσεις Παπαδήμα, 1976)**

Δούκας = **Νεόφυτος Δούκας,** Παράφρασις Θουκυδίδου, **Βιέννη, 1805 (σε 10 τόμους)**

Herter = **Herter H., "Freiheit und Gebundenheit des Staatsmanns bei Thukydides",** Rheinisches Museum, **93, (1950), 133-153**

HCT = **Gomme, A.W. - Andrewes, A. - Dover K.J.,** A Historical Commentary on Thukydides, **(5 τόμοι) Oxford, 1945-1981**

Σχολ. = **ο αρχαίος Σχολιαστής**

ΕΥΧΑΡΙΣΤΙΕΣ

Το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής (ΙΕΠ) ευχαριστεί τις εκδόσεις **Πόλις**, οι οποίες παραχώρησαν ευγενικά την άδεια χρήσης του παραπάνω αποσπάσματος από τη Θουκυδίδη Ιστορία (Β' 35-46) στη μετάφραση του Ν. Σκουτερόπουλου.

l_c_arc_thoukididis_epitafios_bm_sel223_240_18b.indd 31 9/5/2025 1:20:08 μμ

Βάσει του ν. 3966/2011 τα διδακτικά βιβλία του Δημοτικού, του Γυμνασίου, του Λυκείου, των ΕΠΑ.Λ. και των ΕΠΑ.Σ. τυπώνονται από το ΙΤΥΕ - ΔΙΟΦΑΝΤΟΣ και διανέμονται δωρεάν στα Δημόσια Σχολεία. Τα βιβλία μπορεί να διατίθενται προς πώληση, όταν φέρουν στη δεξιά κάτω γωνία του εμπροσθόφυλλου ένδειξη «ΔΙΑΤΙΘΕΤΑΙ ΜΕ ΤΙΜΗ ΠΩΛΗΣΗΣ». Κάθε αντίτυπο που διατίθεται προς πώληση και δεν φέρει την παραπάνω ένδειξη θεωρείται κλεψίτυπο και ο παραβάτης διώκεται σύμφωνα με τις διατάξεις του άρθρου 7 του νόμου 1129 της 15/21 Μαρτίου 1946 (ΦΕΚ 1946,108, Α').

Απαγορεύεται η αναπαραγωγή οποιουδήποτε τμήματος αυτού του βιβλίου, που καλύπτεται από δικαιώματα (copyright), ή η χρήση του σε οποιαδήποτε μορφή, χωρίς τη γραπτή άδεια του Υπουργείου Παιδείας, Θρησκευμάτων και Αθλητισμού / ΙΤΥΕ - ΔΙΟΦΑΝΤΟΣ.